σπαρται καὶ τοῦτο ποιεῖ τὴν ἁλυκότητα μεμιγμένον· ἢ καὶ μᾶλλον ἡ θάλαττα τούς τε νηχομένους ἐξαναφέρει καὶ B στέγει τὰ βάρη, τοῦ γλυκέος ἐνδιδόντος διὰ κουφότητα καὶ ἀσθένειαν· ἔστι γὰρ ἄμικτον καὶ καθαρόν· ὅθεν ἐνδύεται διὰ λεπτότητα καὶ διεξιὸν τοῦ θαλαττίου μᾶλλον ἐκτήκει τὰς κηλῖδας. ἢ οὐ δοκεῖ σοι τοῦτο πιθανῶς λέγειν Ἀριστοτέλης;'

**3.** 'Πιθανῶς' ἔφην ἐγώ 'οὐ μὴν ἀληθῶς· ὁρῶ γὰρ ὅτι καὶ τέφρᾳ καὶ λίτρῳ, κἂν μὴ παρῇ δὲ ταῦτα, κονιορτῷ πολλάκις παχύνουσι τὸ ὕδωρ, ὡς μᾶλλον τῶν γεωδῶν τῇ τραχύτητι καταπλύνειν δυναμένων τὸν ῥύπον, αὐτοῦ δὲ τοῦ ὕδατος διὰ λεπτότητα καὶ ἀσθένειαν οὐχ ὁμοίως τοῦτο δρῶντος. τὸ μὲν οὖν παχυμερὲς τῆς θαλάττης οὐ C . . . † πετουτόποτε . . . πρὸς τὴν κα . . . δὲ τὴν δριμύτητα· καὶ γὰρ αὕτη τοὺς ⟨πόρους⟩ ἀναστομοῦσα καὶ ⟨ἀνοίγουσα⟩ κατασύρει τὸν ῥύπον. ἐπεὶ δὲ πᾶν τὸ λιπαρὸν δυσέκπλυτόν ἐστι καὶ κηλῖδα ποιεῖ, λιπαρὰ δ' ἡ θάλασσα, τοῦτ' ἂν αἴτιον εἴη μάλιστα τοῦ μὴ καλῶς πλύνειν. ὅτι δ' ἐστὶ λιπαρά, καὶ αὐτὸς εἴρηκεν Ἀριστοτέλης (Probl. Ph. 933 a 19)· οἵ τε γὰρ ἅλες λίπος ἔχουσιν καὶ τοὺς λύχνους βέλτιον παρέχουσι καομένους, αὐτή θ' ἡ θάλαττα προσραινομένη ταῖς φλοξὶ συνεκλάμπει, καὶ κάεται μάλιστα τῶν ὑδάτων τὸ θαλάττιον· ὡς δ' ἐγᾦμαι, διὰ τοῦτο καὶ θερμότατόν ἐστιν. οὐ μὴν ἀλλὰ καὶ κατ' ἄλλον τρόπον· D ἐπεὶ τῆς πλύσεως τέλος ἡ ψῦξίς ἐστιν καὶ μάλιστα